ταῖς φάραγξιν ἀνὰ μέσον τῶν πετρῶν. [6]ἐκείνη σου ἡ μερίς, οὗτός 6
σου ὁ κλῆρος, κἀκείνοις ἐξέχεας σπονδὰς κἀκείνοις ἀνήνεγκας θυ-
σίας· ἐπὶ τούτοις οὖν οὐκ ὀργισθήσομαι; [7]ἐπ᾿ ὄρος ὑψηλὸν καὶ 7
μετέωρον, ἐκεῖ σου ἡ κοίτη, κἀκεῖ ἀνεβίβασας θυσίας. [8]καὶ ὀπίσω 8
τῶν σταθμῶν τῆς θύρας σου ἔθηκας μνημόσυνά σου· ᾤου ὅτι
ἐὰν ἀπ᾿ ἐμοῦ ἀποστῇς, πλεῖόν τι ἕξεις· ἠγάπησας τοὺς κοιμωμένους
μετὰ σοῦ [9]καὶ ἐπλήθυνας τὴν πορνείαν σου μετ᾿ αὐτῶν καὶ πολλοὺς 9
ἐποίησας τοὺς μακρὰν ἀπὸ σοῦ καὶ ἀπέστειλας πρέσβεις ὑπὲρ τὰ
ὅριά σου καὶ ἀπέστρεψας καὶ ἐταπεινώθης ἕως ᾅδου. [10]ταῖς πολυ- 10
οδίαις σου ἐκοπίασας καὶ οὐκ εἶπας Παύσομαι ἐνισχύουσα ὅτι ἔπρα-
ξας ταῦτα, διὰ τοῦτο οὐ κατεδεήθης μου [11]σύ. τίνα εὐλαβηθεῖσα 11
ἐφοβήθης καὶ ἐψεύσω με καὶ οὐκ ἐμνήσθης μου οὐδὲ ἔλαβές με
εἰς τὴν διάνοιαν οὐδὲ εἰς τὴν καρδίαν σου; κἀγώ σε ἰδὼν παρορῶ,
καὶ ἐμὲ οὐκ ἐφοβήθης. [12]κἀγὼ ἀπαγγελῶ τὴν δικαιοσύνην μου καὶ 12
τὰ κακά σου, ἃ οὐκ ὠφελήσουσίν σε. [13]ὅταν ἀναβοήσῃς, ἐξελέσθω- 13
σάν σε ἐν τῇ θλίψει σου· τούτους γὰρ πάντας ἄνεμος λήμψεται
καὶ ἀποίσει καταιγίς. οἱ δὲ ἀντεχόμενοί μου κτήσονται γῆν καὶ κλη-
ρονομήσουσιν τὸ ὄρος τὸ ἅγιόν μου. [14]καὶ ἐροῦσιν Καθαρίσατε 14
ἀπὸ προσώπου αὐτοῦ ὁδοὺς καὶ ἄρατε σκῶλα ἀπὸ τῆς ὁδοῦ τοῦ
λαοῦ μου.

[15]Τάδε λέγει κύριος ὁ ὕψιστος ὁ ἐν ὑψηλοῖς κατοικῶν τὸν αἰῶνα, 15
ἅγιος ἐν ἁγίοις ὄνομα αὐτῷ, κύριος ὕψιστος ἐν ἁγίοις ἀναπαυόμε-
νος καὶ ὀλιγοψύχοις διδοὺς μακροθυμίαν καὶ διδοὺς ζωὴν τοῖς
συντετριμμένοις τὴν καρδίαν [16]Οὐκ εἰς τὸν αἰῶνα ἐκδικήσω ὑμᾶς 16
οὐδὲ διὰ παντὸς ὀργισθήσομαι ὑμῖν· πνεῦμα γὰρ παρ᾿ ἐμοῦ ἐξ-
ελεύσεται, καὶ πνοὴν πᾶσαν ἐγὼ ἐποίησα. [17]δι᾿ ἁμαρτίαν βραχύ τι 17
ἐλύπησα αὐτὸν καὶ ἐπάταξα αὐτὸν καὶ ἀπέστρεψα τὸ πρόσωπόν
μου ἀπ᾿ αὐτοῦ, καὶ ἐλυπήθη καὶ ἐπορεύθη στυγνὸς ἐν ταῖς ὁδοῖς
αὐτοῦ. [18]τὰς ὁδοὺς αὐτοῦ ἑώρακα καὶ ἰασάμην αὐτὸν καὶ παρεκά- 18
λεσα αὐτὸν καὶ ἔδωκα αὐτῷ παράκλησιν ἀληθινήν, [19]εἰρήνην ἐπ᾿ 19
εἰρήνην τοῖς μακρὰν καὶ τοῖς ἐγγὺς οὖσιν· καὶ εἶπεν κύριος Ἰάσο-

5 των] pr. ακρων V† (in *O* sub ※) || 6 init.] pr. εν ταις μερισι της φαραγγος *L* (in *O* sub ※) | κακεινοις bis] εκ pro κακ $1^{0}$ S*†, $2^{0}$ S* 393† | κακεινοις $2^{0}$ (cf. sup.)] και τουτοις B*LC* | fin.] + λεγει κυριος S*LC* || 7 κακει SQ] και εκει BA*LC*: cf. 11 | θυσιας] pr. θυσιασαι *L* (in *O* sub ※), + σου *LC* || 8 ωου] ως S† | εξεις] + επλατυνας την κοιτην σου και εθου(*O* διεθου) σαυτη παρ αυτων *L* (in *O* sub ※) || 9 και απεστρεψας AQ$S^c$*C*] > BS**L* = 𝔐 || 11 μου > B† | διανοιαν] + σου S*LC* | καγω AQ] και εγω BS*LC*: item in 12, cf. 7 || 12 μου] σου BS* et α′ σ′ θ′ | ωφελησει BS**L*: sic οι ο′ teste Q, cf. 3 17 || 13 ανεμος λημψ.] tr. B = 𝔐 | αποισει(S† -σεται)] + αυτους S* || 15 init.] pr. οτι pau. (in *O* sub ※) | κυριος $1^{0}$ > BS**L* = 𝔐 | ο $2^{0}$ > BS*† | κυριος $2^{0}$ > BV† = 𝔐 | υψιστος] ο υψ. εις τον αιωνα ο S*† | συντετρ./την καρδ.] tr. B: cf. 𝔐 || 16 init.] pr. και A† || 17 ταις οδοις] + της καρδιας *L* (in *O* sub ※): item uel sim. $S^c$